Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dha-aa

*Ἀχαιός ὁ Ἐρετριεύς* · Achaios of Eretria

# Fragments on Athletes and Satyrs

*Ἀποσπάσματα περὶ Ἀθλητῶν καὶ Σατύρων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (dr, frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

### ΑΔΡΑΣΤΟΣ

1 ἀργᾶς

### ΑΖΑΝΕΣ

### ΧΟΡΟΣ

2.1 νῦν οὖν ἡμεῖς ἱκέται θαλλοὺς
2.2 στεφέων τε σέβας τίθεμεν πρὸ ποδῶν
2.3 τῶν σῶν, λῆξαι
2.4 τῆς ἀστόργου Ζηνὸς θυσίας.

### ΑΘΛΑ

**Α**

3.1 πότερα θεωροῖς εἴτ’ ἀγωνισταῖς λέγεις;

**Β**

3.2 πόλλ’ ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος.

**Α**

3.3a ποδαποὶ γάρ εἰσιν οἱ ξένοι;

**Β**

3.3b Βοιώτιοι.
4*.1 γυμνοὶ γὰρ ὤθουν φαιδίμους βραχίονας
4*.2 ἥβῃ σφριγῶντες ἐμπορεύονται, νέῳ
4*.3 στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας·
4*.4 ἄδην δ’ ἐλαίου στέρνα καὶ ποδῶν κύτος
4*.5 χρίουσιν ὡς ἔχοντες οἴκοθεν τρυφήν.
5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰσάργυρόν τ’ εἰς χεῖρα Κυπρίου λίθου
5.2 δώσουσι κόσμον χριμάτων τ’ Αἰγυπτίων
5.3 ἄλειμμα.

**ΑΙΘΩΝ ΣΑΤΥΡΙΚΟΣ**

6.1 ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως
6.2 οὐκ ἔστι· πεινῶσιν γὰρ ἡ Κύπρις πικρά.
7.1 κεκερματίσθω δ’ ἄλλα μοι παροψίδων
7.2 κάθεφθα καὶ κνισηρὰ παραφλογίσματα.
8.1 πεταλίδων δέ τοι συῶν
8.2 μορφαῖς ταῖσδε πόλλ’ ἐπάιον.

**ΣΑΤΥΡΟΣ Α**

9.1 μῶν Ἀχελῷος ἦν κεκραμένος πολύς;

**ΣΑΤΥΡΟΣ Β**

9.2 ἀλλ’ οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις.

**ΣΑΤΥΡΟΣ Α**

9.3 καλῶς μὲν οὖν ἄγειν σκύθη πιεῖν.
10.1 βακκάρει χρισθέντα καὶ ψυκτηρίοις
10.2 πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα.

**ΣΑΤΥΡΟΣ**

11.1 χαῖρ’ ὦ Χάρων, χαῖρ’ ὦ Χάρων, χαῖρ’ ὦ Χάρων, —
11.2 ἦ που σφόδρα θυμοῖ;

**ΑΛΚΜΕΩΝ ΣΑΤΥΡΙΚΟΣ**

**ΣΑΤΥΡΟΣ**

12,13.1 καρυκκοποιοὺς προσβλέπων βδελύσσομαι.
12,13.2 τίς ὑποκεκρυμμένος μένει,
12,13.3 σαραβάκων κοπίδων συνομώνυμε;
14.1 ἀλλ’ ὡς τάχιστα μέλανα δεῦρ’ ἀμνὸν φέρειν
14.2 κοινόν τε χρὴ κρατῆρα καὶ κυλιχνίδας.
15 ἀμηνίτως.

**ΑΛΦΕΣΙΒΟΙΑ**

16 ἔναστρος ὥστε μαινάς.

**ΕΡΓΙΝΟΣ**

**ΗΦΑΙΣΤΟΣ ΣΑΤΥΡΙΚΟΣ**

**ΔΙΟΝΥΣΟΣ**

17.1 θοίνῃ σε πρῶτον τέρψομεν· πάρεστι δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΗΦΑΙΣΤΟΣ**

17.2 τὸ δεύτερον δὲ τῷ με κηλήσεις τρόπῳ;

**ΔΙΟΝΥΣΟΣ**

17.3 μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας.

**ΗΦΑΙΣΤΟΣ**

17.4 ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως;

**ΔΙΟΝΥΣΟΣ**

17.5 ἡνίκα τράπεζά γ’ ἐκποδὼν ἀπαίρεται.

**ΘΗΣΕΥΣ**

18 Ἄρτεμις Σαρωνία.

18a ὀξυπρῴρῳ ταύρῳ.

**ΙΡΙΣ ΣΑΤΥΡΟΙ**

19.1 λιθάργυρος

19.2 ὄλπη παρῃωρεῖτο χρίματος πλέα

19.3 τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ.

20 Διόνυσος ἀκατάσχετος.

21 ἀκτηρίς.

22 ἐκολλόπωσε.

23 σελῆναι.

**ΚΑΤΑΠΕΙΡΑ**

23a δίχολοι γνῶμαι.

**ΚΥΚΝΟΣ**

24,43.1 Κύκνου δὲ πρῶτα πρὸς δόμους ἐλήλυμεν.

24,43.2 τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυτε.

25.1 πεινῶντι δ’ ἀνδρὶ μᾶζα τιμιωτέρα

25.2 χρυσοῦ τε κἀλέφαντος.

**ΛΙΝΟΣ ΣΑΤΥΡΙΚΟΣ**

**ΣΑΤΥΡΟΙ**

26.1 ῥιπτοῦντες ἐκβάλλοντες ἀγνύντες, τί μ’ οὐ

26.2 λέγοντες· ὦ κάλλιστον Ἡρακλείδιον

26.3 λάταξ.

**ΜΟΙΡΑΙ**

27.1 πολὺς γὰρ ὅμιλος

27.2 πόντιος κυκλοσοβῶν, ἐνάλιος θεωρία,

27.3 χραίνοντες οὐραίοισιν εὐδίαν ἁλός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

### ΣΙΛΗΝΟΣ

28 βαβαὶ βαβαί, βήσομαι γυναῖκας.

### ΜΩΜΟΣ

29 Ἄρης ὁ λῃστὴς ξὺν δορὶ ξὺν ἀσπίδι.

### ΟΙΔΙΠΟΥΣ

30 ἀκάθαρτον.

31 ἐκλωτίζεται.

### ΟΜΦΑΛΗ ΣΑΤΥΡΙΚΗ

32 ὡς εὔδουλος, ὡς εὔοικος ἦν.

### ΣΑΤΥΡΟΣ

33.1 ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι
33.2 τὸ γράμμα φαίνων· δέλτ’, ἰῶτα καὶ τρίτον
33.3 οὖ, νῦ τό τ’ ὖ πάρεστι, κοὐκ ἀπουσίαν
33.4 ἐκ τοὐπέκεινα σὰν τό τ’ οὖ κηρύσσετον.

34.1 ἡλίσκετ’ ἆρα καὶ πρὸς ἀσθενῶν ταχύς
34.2 καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

35 Φαναῖος Ἀπόλλων.

### ΠΕΙΡΙΘΟΥΣ

36 ἀμφερκῆ πίθον.

### ΦΙΛΟΚΤΗΤΗΣ

### ΑΓΑΜΕΜΝΩΝ

37.1 ὥρα βοηθεῖν ἐστ’· ἐγὼ δ’ ἡγήσομαι.
37.2 προσβαλλέτω τις χεῖρα φασγάνου λαβῇ,
37.3 σάλπιγγι δ’ ἄλλος ὡς τάχος σημαινέτω·
37.4 ὥρα ταχύνειν, ἐλελελεῦ.

### ΦΡΙΞΟΣ

38 Πελεός.

### ΑΔΗΛΑ

40 Ταραντῖναι βαφαί.

41 ἐδεξιοῦτο Βιβλίνου μέθης ἐκπώματι.

42 ἦ τοσούσδ’ Αἴτνη τρέφει κοχλίας κεράστας;

44 ἥκω πεπραγὼς δεινά, σὺ δ’ ὑγίαινέ μοι.

47 χάσκοντα λιμῷ μόσχον ὡς χελιδόνος.

48 αἰόλη.

49* καιρότερον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

50 κύτταροι.

51? μάλευρον.

52 νυμφόβας.

53? πανόπτης.

54 ἀλιάποδα.

55 δραχμῇ παχείᾳ.

56* οἴνη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org